eul_wid: fdm-ab

*Ἡνίοχος ὁ Κωμικός* · Heniochus the Comic Poet

# Symposium and Philosophical Banter

*Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Πιεῖν
book 1.2 πιεῖν
book 1.3 τις ἔγχει
book 1.4 πυριγενῆ λαβὼν βραχύωτον κυκλοτερῆ παχύστομον κώθωνα, παῖδα φάρυγος.
book 1.1 Ὁ βοῦς ὁ χαλκοῦς ἦν ἂν ἑφθὸς δεκάπαλαι, ὁ δ’ ἴσως γαλαθηνὸν τέθυκε τὸν
book 1.2 χοῖρον λαβών.
book 1.1 Ὁρῶ δὲ θαῦμ’ ἄπιστον, ἰχθύων γένη
book 1.2 περὶ τὴν ἄκραν
book 1.3 παίζοντα, κωβιούς, σπάρους, ψήττας, ἐρυθίνους, κεστρέας, πέρκας, ὄνους, θύννους, μελανούρους, σηπίας, αὐλωπίας,[ln_5]τρίγλας, ἐλεδώνας, σκορπίους.
book 1.1 [spk_α]Πρὸς ἐμαυτὸν ἐνθυμούμενος, νὴ τοὺς θεούς, ὅσῳ διαφέρει σῦκα καρδάμων. σὺ δὲ Παύσωνι φῂς τὸ δεῖνα
book 1.2 προσλελαληκέναι, Α. καὶ πρᾶγμά γ’ ἠρώτα με δυστράπελον πάνυ
book 1.1 [ln_5][spk_β]ἔχον
book 1.2 τε πολλὰς
book 1.3 φροντίδων διεξόδους. Β. λέγ’ αὐτό· καὶ γὰρ οὐκ ἀγέλοιόν ἐστ’ ἴσως. Α. ἔτνος κυάμινον διότι τὴν μὲν γαστέρα
book 1.4 φυσᾷ, τὸ δὲ πῦρ οὔ; Β. χάριεν οἷς γιγνώσκεται τὸ πρᾶγμα
book 1.5 τοῦ Παύσωνος. ὡς δ’ ἀεί ποτε[ln_10]περὶ τοὺς κυάμους ἔσθ’ οὗτος ὁ σοφιστὴς τέλος.
book 1.1 Ἐγὼ δ’ ὄνομα τὸ μὲν καθ’ ἑκάστην αὐτίκα λέξω, συνάπασαι δ’ εἰσὶ παντοδαπαὶ πόλεις, αἳ νῦν ἀνοηταίνουσι
book 1.2 πολὺν ἤδη
book 1.3 χρόνον. τάχ’ ἂν
book 1.4 τις ὑποκρούσειεν ὅ τι πότ’ ἐνθάδε[ln_5]νῦν εἰσὶ κἀνέροιτο· παρ’ ἐμοῦ πεύσεται. τὸ χωρίον μὲν γὰρ τόδ’ ἐστὶ πᾶν κύκλῳ Ὀλυμπία, τηνδὶ δὲ τὴν
book 1.5

σκηνὴν ἐκεῖ σκηνὴν ὁρᾶν θεωρικὴν νομίζετε. εἶεν. τί οὖν ἐνταῦθα δρῶσιν αἱ πόλεις; [ln_10]ἐλευθέρι' ἀφίκοντο θύσουσαί ποτε, ὅτε τῶν φόρων ἐγένοντ' ἐλεύθεραι

book 1.6 σχεδόν. κἄπειτ' ἀπ' ἐκείνης τῆς θυσίας διέφθορεν αὐτὰς ξενίζους' ἡμέραν ἐξ ἡμέρας ἀβουλία κατέχουσα

book 1.7 πολὺν ἤδη

book 1.8 χρόνον.

book 1.1 [ln_15]γυναῖκε δ' αὐτὰς δύο

book 1.2 ταράττετόν

book 1.3 τινε ἀεὶ συνοῦσαι· δημοκρατία θατέρᾳ ὄνομ' ἐστί, τῇ δ' ἀριστοκρατία θατέρᾳ, δι' ἃς

book 1.4 πεπαρῳνήκασιν ἤδη

book 1.5 πολλάκις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org